# THE LIFE OF ADAM AND EVE

Intermediate/Advanced Biblical and Patristic Greek

JULY 8, 2019

MACQUARIE ANCIENT LANGUAGES WINTER SCHOOL

Διήγησις καὶ πολιτεία Ἀδὰμ καὶ Εὔας ἀποκαλυφθεῖσα παρὰ θεοῦ Μωσῇ τῷ θεράποντι αὐτοῦ, διδαχθεῖσα παρὰ τοῦ ἀρχαγγέλου Μιχαήλ. Κύριε, εὐλόγησον.

(1) Αὕτη ἡ διήγησις Ἀδὰμ καὶ Εὔας μετὰ τὸ ἐξελθεῖν αὐτοὺς ἐκ τοῦ παραδείσου. Ἔλαβεν Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ καὶ ἀνῆλθεν εἰς τὴν ἀνατολὴν καὶ ἔμεινεν ἐκεῖ ἔτη δέκα καὶ ὀκτὼ καὶ μῆνας δύο. Καὶ ἐν γαστρὶ εἴληφεν ἡ Εὔα καὶ ἐγέννησε δύο υἱούς, τὸν Ἀδιάφωτον τὸν λεγόμενον Κάϊν καὶ τὸν Ἀμιλαβὲς τὸν καλούμενον Ἄβελ.

(2) Καὶ μετὰ ταῦτα ἐγένοντο μετ᾽ ἀλλήλων Ἀδὰμ καὶ Εὔα· κοιμωμένων δὲ αὐτῶν, εἶπεν Εὔα τῷ κυρίῳ αὐτῆς Ἀδάμ· «Κύριέ μου, εἶδον ἐγὼ κατ᾽ ὄναρ τῇ νυκτὶ ταύτῃ τὸ αἷμα τοῦ υἱοῦ μου Ἀμιλαβὲς τοῦ ἐπιλεγομένου Ἄβελ βαλλόμενον εἰς τὸ στόμα Κάϊν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἔπιεν αὐτὸ ἀνελεημόνως. Παρεκάλει δὲ αὐτὸν συγχωρῆσαι αὐτῷ ὀλίγον ἐξ αὐτοῦ· αὐτὸς δὲ οὐκ ἤκουεν αὐτοῦ, ἀλλ᾽ ὅλον κατέπιεν αὐτό. Καὶ οὐκ ἔμεινεν ἐπὶ τὴν κοιλίαν αὐτοῦ, ἀλλ᾽ ἐξῆλθεν ἔξω τοῦ στόματος αὐτοῦ.» Εἶπε δὲ Ἀδάμ· «Ἀναστάντες πορευθῶμεν καὶ ἴδωμεν τί ἐστι τὸ γεγονὸς αὐτοῖς, μήποτε ὁ ἐχθρὸς πολεμῇ πρὸς αὐτούς.»

(3) Πορευθέντες δὲ ἀμφότεροι εὗρον πεφονευμένον τὸν Ἄβελ ἀπὸ χειρὸς Κάϊν τοῦ ἀδελφοῦ αὐτοῦ. Καὶ λέγει ὁ θεὸς Μιχαὴλ τῷ ἀρχαγγέλῳ· «Εἰπὲ τῷ Ἀδὰμ ὅτι τὸ μυστήριον ὃ οἶδας μὴ ἀναγγείλῃς Κάϊν τῷ υἱῷ σου, ὅτι ὀργῆς υἱός ἐστιν. Ἀλλὰ μὴ λυποῦ· δώσω σοι γὰρ ἀντ᾽ αὐτοῦ ἕτερον υἱόν· οὗτος δηλώσει πάντα ὅσα ἐποίησας. Σὺ δὲ μὴ εἴπῃς αὐτῷ μηδέν.» Ταῦτα εἶπεν ὁ θεὸς τῷ ἀρχαγγέλῳ

αὐτοῦ. Ἀδὰμ δὲ ἐφύλαξε τὸ ῥῆμα ἐν τῇ καρδίᾳ αὐτοῦ, μετ᾽ αὐτοῦ δὲ καὶ ἡ Εὔα, ἔχοντες τὴν λύπην περὶ Ἄβελ τοῦ υἱοῦ αὐτῶν.

(4) Μετὰ ταῦτα ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ· καὶ ἐν γαστρὶ ἔσχε καὶ ἐγέννησε τὸν Σήθ. Καὶ λέγει Ἀδὰμ τῇ Εὔᾳ· «Ἰδοὺ ἐγεννήσαμεν υἱὸν ἀντὶ Ἄβελ ὃν ἀπέκτεινε Κάϊν· δώσωμεν δόξαν καὶ θυσίαν τῷ θεῷ.»

(5) Ἐποίησε δὲ Ἀδὰμ υἱοὺς τριάκοντα καὶ θυγατέρας τριάκοντα. Ἔζησε δὲ Ἀδὰμ ἔτη ἐνακόσια τριάκοντα. Καὶ περιέπεσεν εἰς νόσον καὶ ἐβόησε φωνὴν μεγάλην λέγων· «Ἐλθέτωσαν πρὸς ἐμὲ οἱ υἱοί μου πάντες, ὅπως ὄψομαι αὐτοὺς πρὶν ἢ ἀποθανεῖν με.» Καὶ συνήχθησαν πάντες· ἦν γὰρ οἰκισθεῖσα ἡ γῆ εἰς τρία μέρη. Εἶπε δὲ αὐτῷ Σὴθ ὁ υἱὸς αὐτοῦ· «Πάτερ Ἀδάμ, τί σοί ἐστι νόσος;» Καὶ λέγει· «Τεκνία μου, πόνος πολύς με συνέχει.» Καὶ λέγουσιν αὐτῷ· «Τί ἐστι πόνος, τί ἐστι νόσος;»

(6) Καὶ ἀποκριθεὶς Σὴθ λέγει αὐτῷ· «Μὴ ἐμνήσθης, πάτερ, τοῦ παραδείσου ἐξ ὧν ἤσθιες καὶ ἐλυπήθης; Ἐὰν οὕτως ἐστίν, ἀνάγγειλόν μοι καὶ ἐγὼ πορεύσομαι καὶ ἐνέγκω σοι καρπὸν ἀπὸ τοῦ παραδείσου. Ἐπιθήσω γὰρ κόπρον ἐπὶ τὴν κεφαλήν μου καὶ κλαύσομαι καὶ προσεύξομαι· καὶ εἰσακούσεταί μου κύριος καὶ ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ καὶ ἐνέγκω σοι ἵνα καταπαύσῃ ὁ πόνος ἀπὸ σοῦ.» Καὶ λέγει αὐτῷ ὁ Ἀδάμ· «Οὐχί, υἱέ μου Σήθ, ἀλλὰ νόσον καὶ πόνους ἔχω.» Λέγει αὐτῷ Σήθ· «Καὶ πῶς σοι ἐγένοντο;»

(7) Εἶπε δὲ αὐτῷ ὁ Ἀδάμ· «Ὅτε ἐποίησεν ἡμᾶς ὁ θεὸς ἐμέ τε καὶ τὴν μητέρα ὑμῶν—δι᾽ ἧς καὶ ἀποθνῄσκω—, ἔδωκεν ἡμῖν πᾶν φυτὸν ἐν τῷ παραδείσῳ, περὶ

ἑνὸς δὲ ἐνετείλατο ἡμῖν μὴ ἐσθίειν ἐξ αὐτοῦ—δι᾽ οὗ καὶ ἀποθνήσκομεν—. Ἤγγισε δὲ ἡ ὥρα τῶν ἀγγέλων τῶν διατηρούντων τὴν μητέρα ὑμῶν τοῦ ἀναβῆναι καὶ προσκυνῆσαι τὸν κύριον. Καὶ ἔδωκεν αὐτῇ ὁ ἐχθρὸς καὶ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἐγνωκὼς ὅτι οὐκ ἤμην ἐγγὺς αὐτῆς οὔτε οἱ ἅγιοι ἄγγελοι. Ἔπειτα ἔδωκε κἀμοὶ φαγεῖν.»

(8) «Καὶ ὠργίσθη ἡμῖν ὁ θεός· καὶ ἐλθὼν ἐν τῷ παραδείσῳ ὁ δεσπότης ἐκάλεσέ με φωνῇ φοβερᾷ λέγων· ‘Ἀδάμ, ποῦ εἶ; καὶ ἵνα τί κρυβήσει ἀπὸ προσώπου μου; Μὴ δυνήσεται κρυβῆναι οἰκία τῷ οἰκοδομήσαντι αὐτήν;’ Καὶ λέγει· ‘Ἐπειδὴ ἐγκατέλιπες τὴν διαθήκην μου, ὑπήνεγκα τῷ σώματί σου ἑβδομήκοντα δύο πληγάς.’ Πρώτη νόσος πληγῆς ὁ βιασμὸς τῶν ὀφθαλμῶν, δευτέρα πληγῆς τῆς ἀκοῆς καὶ οὕτως καθεξῆς πᾶσαι αἱ πληγαὶ παρακολουθοῦσαι τῷ σώματι.»

(9) Ταῦτα δὲ λέγων ὁ Ἀδὰμ τοῖς υἱοῖς αὐτοῦ ἀνεστέναξε μέγα καὶ εἶπεν· «Τί ποιήσω; ἐν μεγάλῃ λύπῃ εἰμί.» Ἔκλαυσε δὲ ἡ Εὔα λέγουσα· «Κύριέ μου Ἀδάμ, ἀναστὰς δός μοι τὸ ἥμισυ τῆς νόσου σου καὶ ὑπενέγκω αὐτό, ὅτι δι᾽ ἐμὲ τοῦτό σοι γέγονεν, δι᾽ ἐμὲ ἐν καμάτοις τυγχάνεις.» Εἶπε δὲ Ἀδὰμ τῇ Εὔᾳ· «Ἀνάστα καὶ πορεύου μετὰ τοῦ υἱοῦ ἡμῶν Σὴθ πλησίον τοῦ παραδείσου· καὶ ἐπίθετε γῆν ἐπὶ τὰς κεφαλὰς ὑμῶν καὶ κλαύσατε, δεόμενοι τοῦ θεοῦ ὅπως σπλαγχνισθῇ ἐπ᾽ ἐμοὶ καὶ ἀποστείλῃ τὸν ἄγγελον αὐτοῦ εἰς τὸν παράδεισον, καὶ δώσῃ μοι ἐκ τοῦ δένδρου ἐν ᾧ ῥέει τὸ ἔλαιον ἐξ αὐτοῦ καὶ ἐνέγκῃς μοι, καὶ ἀλείψομαι καὶ ἀναπαύσομαι ἀπὸ τῆς νόσου μου.»

(10) Ἐπορεύθη δὲ Σὴθ καὶ ἡ Εὔα εἰς τὰ μέρη τοῦ παραδείσου. Καὶ εἶδεν ἡ Εὔα τὸν υἱὸν αὐτῆς καὶ θηρίον πολεμοῦντα αὐτόν. Ἔκλαυσε δὲ ἡ Εὔα λέγουσα· «Οἴμοι οἴμοι, ὅτι ἐὰν ἔλθω εἰς τὴν ἡμέραν τῆς ἀναστάσεως, πάντες οἱ ἁμαρτήσαντες καταράσονταί με λέγοντες ὅτι οὐκ ἐφύλαξεν Εὔα τὴν ἐντολὴν τοῦ θεοῦ.» Καὶ εἶπε πρὸς τὸ θηρίον· «Ὦ σὺ θηρίον πονηρόν, οὐ φοβήσει τὴν εἰκόνα τοῦ θεοῦ πολεμῆσαι; Πῶς ἠνοίγη τὸ στόμα σου; πῶς ἐνίσχυσαν οἱ ὀδόντες σου; πῶς οὐκ ἐμνήσθης τῆς ὑποταγῆς σου ὅτε πρότερον ὑπετάγης τῇ εἰκόνι τοῦ θεοῦ;»

(11) Τότε τὸ θηρίον ἐβόησε λέγον· «Ὦ Εὔα, οὐ πρὸς ἡμᾶς ἡ πλεονεξία σου οὔτε ὁ κλαυθμός, ἀλλὰ πρὸς σέ, ἐπειδὴ ἡ ἀρχὴ τῶν θηρίων ἐκ σοῦ ἐγένετο. Πῶς ἠνοίγη τὸ στόμα σου φαγεῖν ἀπὸ τοῦ ξύλου περὶ οὗ ἐνετείλατό σοι ὁ θεὸς μὴ φαγεῖν ἐξ αὐτοῦ; Διὰ τοῦτο καὶ ἡμῶν αἱ φύσεις μετηλλάγησαν. Νῦν οὖν οὐ δυνήσει ὑπενεγκεῖν, ἐὰν ἀπάρξωμαι ἐλέγχειν σε.»

(12) Λέγει ὁ Σὴθ πρὸς τὸ θηρίον· «Κλεῖσαί σου τὸ στόμα καὶ σίγα καὶ ἀπόστηθι ἀπὸ τῆς εἰκόνος τοῦ θεοῦ ἕως τῆς ἡμέρας τῆς κρίσεως.» Τότε λέγει τὸ θηρίον τῷ Σήθ· «Ἰδοὺ ἀφίσταμαι ἀπὸ τῆς εἰκόνος τοῦ θεοῦ.» Καὶ ἐπορεύθη εἰς τὴν κοίτην αὐτοῦ.

(13) Ἐπορεύθη δὲ Σὴθ μετὰ Εὔας πλησίον τοῦ παραδείσου. Καὶ ἔκλαυσαν δεόμενοι τοῦ θεοῦ ὅπως ἀποστείλῃ τὸν ἄγγελον αὐτοῦ καὶ δώσῃ αὐτοῖς τὸ ἔλαιον τοῦ ἐλέου. Καὶ ἀπέστειλεν ὁ θεὸς Μιχαὴλ τὸν ἀρχάγγελον καὶ εἶπε τῷ Σήθ· «Ἄνθρωπε τοῦ θεοῦ, μὴ κάμῃς εὐχόμενος ἐπὶ τῇ ἱκεσίᾳ ταύτῃ περὶ τοῦ

ξύλου ἐν ᾧ ῥέει τὸ ἔλαιον ἀλεῖψαι τὸν πατέρα σου Ἀδάμ· οὐ γενήσεταί σοι νῦν. Σὺ δὲ πάλιν πορεύου πρὸς τὸν πατέρα σου, ἐπειδὴ ἐπληρώθη τὸ μέτρον τῆς ζωῆς αὐτοῦ ἴσον τριῶν ἡμερῶν· ἐξερχομένης δὲ τῆς ψυχῆς αὐτοῦ, μέλλεις θεάσασθαι τὴν ἄνοδον αὐτῆς φοβεράν.»

(14) Εἰπὼν δὲ ταῦτα ὁ ἄγγελος ἀπῆλθεν ἀπ' αὐτῶν. Ἦλθε δὲ Σὴθ καὶ Εὔα εἰς τὴν σκηνὴν ὅπου ἔκειτο ὁ Ἀδάμ. Λέγει δὲ Ἀδὰμ τῇ Εὔᾳ· «Ὦ Εὔα, τί κατειργάσω ἐν ἡμῖν; Ἐπήνεγκας ἐφ' ἡμᾶς ὀργὴν μεγάλην, ἥτις ἐστὶ θάνατος κατακυριεύων παντὸς τοῦ γένους ἡμῶν.» Καὶ λέγει αὐτῇ· «Κάλεσον πάντα τὰ τέκνα ἡμῶν καὶ τὰ τέκνα τῶν τέκνων ἡμῶν καὶ ἀνάγγειλον αὐτοῖς τὸν τρόπον τῆς παραβάσεως ἡμῶν.»

(15) Τότε λέγει ἡ Εὔα πρὸς αὐτούς· «Ἀκούσατε, πάντα τὰ τέκνα μου καὶ τὰ τέκνα τῶν τέκνων μου, κἀγὼ ἀναγγελῶ ὑμῖν πῶς ἠπάτησεν ἡμᾶς ὁ ἐχθρός. Ἐγένετο ἐν τῷ φυλάσσειν ἡμᾶς τὸν παράδεισον, ἐφυλάσσομεν ἕκαστος ἡμῶν τὸ λαχὸν αὐτῷ μέρος ἀπὸ τοῦ θεοῦ· ἐγὼ δὲ ἐφύλασσον ἐν τῷ κλήρῳ μου νότον καὶ δύσιν. Ἐπορεύθη δὲ ὁ διάβολος εἰς τὸν κλῆρον τοῦ Ἀδάμ, ὅπου ἦν τὰ ἀρσενικὰ θηρία, ἐπειδὴ τὰ θηρία ἐμέρισεν ὁ θεός, τὰ ἀρσενικὰ πάντα δέδωκε τῷ πατρὶ ὑμῶν καὶ τὰ θηλυκὰ πάντα δέδωκεν ἐμοί.»

(16) «Καὶ ἐλάλησε τῷ ὄφει ὁ διάβολος λέγων· 'Ἀναστὰς ἐλθὲ πρὸς ἐμέ.' Καὶ ἀναστὰς ὁ ὄφις ἦλθε πρὸς αὐτόν. Καὶ λέγει αὐτῷ ὁ διάβολος· 'Ἀκούω ὅτι φρονιμώτερος εἶ ὑπὲρ πάντα τὰ θηρία καὶ ὁμιλῶ σοι. Διὰ τί ἐσθίεις ἐκ τῶν ζιζανίων τοῦ Ἀδὰμ καὶ οὐχὶ ἐκ τοῦ παραδείσου; Ἀνάστα καὶ ποιήσωμεν αὐτὸν

ἐκβληθῆναι ἐκ τοῦ παραδείσου ὡς καὶ ἡμεῖς ἐξεβλήθημεν δι' αὐτοῦ.' Λέγει αὐτῷ ὁ ὄφις· 'Φοβοῦμαι μήποτε ὀργισθῇ μοι ὁ θεός.' Λέγει αὐτῷ ὁ διάβολος· 'Μὴ φοβοῦ· γενοῦ μοι σκεῦος κἀγὼ λαλήσω διὰ στόματός σου ῥήματα πρὸς τὸ ἐξαπατῆσαι αὐτούς.'»

(17) «Καὶ εὐθέως ἐκρεμάσθη παρὰ τῶν τειχῶν τοῦ παραδείσου. Καὶ ὅτε ἀνῆλθον οἱ ἄγγελοι τοῦ θεοῦ προσκυνῆσαι, τότε ὁ Σατανᾶς ἐγένετο ἐν εἴδει ἀγγέλου καὶ ὕμνει τὸν θεὸν καθάπερ οἱ ἄγγελοι. Καὶ παρέκυψα ἐκ τοῦ τείχους καὶ εἶδον αὐτὸν ὅμοιον ἀγγέλου. Καὶ λέγει μοι· 'Σὺ εἶ ἡ Εὔα;' Καὶ εἶπον αὐτῷ· 'Ἐγώ εἰμι.' Καὶ λέγει μοι· 'Τί ποιεῖς ἐν τῷ παραδείσῳ;' Καὶ εἶπον αὐτῷ· 'Ὁ θεὸς ἔθετο ἡμᾶς ὥστε φυλάσσειν καὶ ἐσθίειν ἐξ αὐτοῦ.' Ἀπεκρίθη ὁ διάβολος διὰ στόματος τοῦ ὄφεως· 'Καλῶς ποιεῖτε, ἀλλ' οὐκ ἐσθίετε ἀπὸ παντὸς φυτοῦ.' Κἀγὼ εἶπον αὐτῷ· 'Ναί, ἀπὸ παντὸς ἐσθίομεν, παρὲξ ἑνὸς μόνου ὅ ἐστι μέσον τοῦ παραδείσου περὶ οὗ ἐνετείλατο ἡμῖν ὁ θεὸς μὴ ἐσθίειν ἐξ αὐτοῦ, ἐπεὶ θανάτῳ ἀποθανούμεθα.'»

(18) «Τότε λέγει μοι ὁ ὄφις· 'Ζῇ ὁ θεὸς ὅτι λυποῦμαι περὶ ὑμῶν· οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν. Δεῦρο οὖν φάγε καὶ νόησον τὴν τιμὴν τοῦ ξύλου.' Ἐγὼ δὲ εἶπον αὐτῷ· 'Φοβοῦμαι μήποτε ὀργισθῇ μοι ὁ θεὸς καθὼς εἶπεν ἡμῖν.' Καὶ λέγει μοι· 'Μὴ φοβοῦ· ἅμα γὰρ φάγῃς, ἀνοιχθήσονταί σου οἱ ὀφθαλμοὶ καὶ ἔσει ὡς θεὸς γινώσκουσα ἀγαθὸν καὶ πονηρόν. Τοῦτο δὲ γινώσκων ὁ θεὸς ὅτι ἔσεσθε ὅμοιοι αὐτοῦ ἐφθόνησεν ὑμῖν καὶ εἶπεν· Οὐ φάγεσθε ἐξ αὐτοῦ. Σὺ δὲ πρόσσχες τῷ

φυτῷ καὶ ὄφει δόξαν μεγάλην.' Ἐφοβήθην δὲ λαβεῖν ἀπὸ τοῦ καρποῦ. Καὶ λέγει μοι· 'Δεῦρο ἀκολούθει μοι καὶ δώσω σοι.'»

(19) «Ἤνοιξα δὲ καὶ εἰσῆλθεν ἔσω εἰς τὸν παράδεισον καὶ διώδευσεν ἔμπροσθέν μου. Καὶ περιπατήσας ὀλίγον ἐστράφη καὶ λέγει μοι· 'Μεταμεληθεὶς οὐ δώσω σοι φαγεῖν ἐὰν μὴ ὀμόσῃς μοι ὅτι δίδεις καὶ τῷ ἀνδρί σου.' Ἐγὼ δὲ εἶπον αὐτῷ· 'Οὐ γινώσκω ποίῳ ὅρκῳ ὀμόσω σοι, πλὴν ὃ οἶδα, λέγω σοι· μὰ τὸν θρόνον τοῦ δεσπότου καὶ τὰ χερουβὶμ καὶ τὸ ξύλον τῆς ζωῆς, ὅτι δώσω καὶ τῷ ἀνδρί μου.' Ὅτε δὲ ἔλαβεν ἀπ' ἐμοῦ τὸν ὅρκον, τότε ἦλθε καὶ ἔθετο ἐπὶ τὸν καρπὸν ὃν ἔδωκέ μοι φαγεῖν τὸν ἰὸν τῆς κακίας αὐτοῦ, τοῦτ' ἐστι τὴν ἐπιθυμίαν—ἐπιθυμία γάρ ἐστι κεφαλὴ πάσης ἁμαρτίας—. Καὶ κλίνας τὸν κλάδον ἐπὶ τὴν γῆν ἔλαβον ἀπὸ τοῦ καρποῦ καὶ ἔφαγον.»

(20) «Καὶ ἐν αὐτῇ τῇ ὥρᾳ ἠνεῴχθησαν οἱ ὀφθαλμοί μου καὶ ἔγνων ὅτι γυμνὴ ἤμην τῆς δικαιοσύνης ἧς ἤμην ἐνδεδυμένη. Καὶ ἔκλαυσα λέγουσα· 'Τί τοῦτο ἐποίησας ὅτι ἀπηλλοτριώθην ἐκ τῆς δόξης μου;' Ἔκλαιον δὲ καὶ περὶ τοῦ ὅρκου. Ἐκεῖνος δὲ κατῆλθεν ἐκ τοῦ φυτοῦ καὶ ἄφαντος ἐγένετο. Ἐγὼ δὲ ἐζήτουν ἐν τῷ μέρει μου φύλλα ὅπως καλύψω τὴν αἰσχύνην μου καὶ οὐχ εὗρον· πάντων γὰρ τῶν φυτῶν τοῦ ἐμοῦ μέρους κατερρύη τὰ φύλλα, παρὲξ τοῦ σύκου μόνου. Λαβοῦσα δὲ φύλλα ἀπ' αὐτοῦ ἐποίησα ἐμαυτῇ περιζώματα.»

(21) «Καὶ ἐβόησα αὐτῇ τῇ ὥρᾳ λέγουσα· 'Ἀδάμ, Ἀδάμ, ποῦ εἶ; Ἀνάστα ἐλθὲ πρὸς ἐμὲ καὶ δείξω σοι μέγα μυστήριον.' Ὅτε δὲ ἦλθεν ὁ πατὴρ ὑμῶν, εἶπον αὐτῷ λόγους παρανομίας οἵτινες κατήγαγον ἡμᾶς ἀπὸ μεγάλης δόξης. Ἅμα γὰρ

ἦλθεν, ἤνοιξα τὸ στόμα μου καὶ ὁ διάβολος ἐλάλει καὶ ἠρξάμην νουθετεῖν αὐτὸν λέγουσα· ‘Δεῦρο κύριέ μου Ἀδάμ, ἐπάκουσόν μου καὶ φάγε ἀπὸ τοῦ καρποῦ τοῦ δένδρου οὗ εἶπεν ἡμῖν ὁ θεὸς τοῦ μὴ φαγεῖν ἀπ' αὐτοῦ καὶ ἔσει ὡς θεός.' Καὶ ἀποκριθεὶς ὁ πατὴρ ὑμῶν εἶπεν· ‘Φοβοῦμαι μήποτε ὀργισθῇ μοι ὁ θεός.' Ἐγὼ δὲ εἶπον· ‘Μὴ φοβοῦ· ἅμα γὰρ φάγῃς, ἔσει γινώσκων καλὸν καὶ πονηρόν.' Καὶ ταχέως πείσασα αὐτόν, ἔφαγεν. Καὶ ἠνεῴχθησαν αὐτοῦ οἱ ὀφθαλμοὶ καὶ ἔγνω τὴν γύμνωσιν αὐτοῦ. Καὶ λέγει μοι· ‘Ὦ γύναι πονηρά, τί κατειργάσω ἐν ἡμῖν; Ἀπηλλοτρίωσάς με ἐκ τῆς δόξης τοῦ θεοῦ.'»

(22) «Καὶ αὐτῇ τῇ ὥρᾳ ἠκούσαμεν τοῦ ἀρχαγγέλου Μιχαὴλ σαλπίζοντος καὶ καλοῦντος τοὺς ἀγγέλους καὶ λέγοντος· Τάδε λέγει κύριος· Ἔλθατε μετ' ἐμοῦ εἰς τὸν παράδεισον καὶ ἀκούσατε τοῦ κρίματος ἐν ᾧ κρινῶ τὸν Ἀδάμ. Καὶ ὡς ἠκούσαμεν τοῦ ἀρχαγγέλου σαλπίζοντος, εἴπομεν· Ἰδοὺ ὁ θεὸς εἰς τὸν παράδεισον ἔρχεται κρῖναι ἡμᾶς. Ἐφοβήθημεν δὲ καὶ ἐκρύβημεν. Καὶ ἦλθεν ὁ θεὸς εἰς τὸν παράδεισον ἐπιβεβηκὼς ἐπὶ ἅρματος χερουβίμ, καὶ οἱ ἄγγελοι ὑμνοῦντες αὐτόν. Ἐν ᾧ δὲ ἦλθεν ὁ θεός, ἐξήνθησαν τὰ φυτὰ τοῦ κλήρου τοῦ Ἀδὰμ καὶ τοῦ κλήρου τοῦ ἐμοῦ πάντα. Καὶ ὁ θρόνος τοῦ θεοῦ ἐστηρίζετο ὅπου ἦν τὸ ξύλον τῆς ζωῆς.»

(23) «Καὶ ἐκάλεσεν ὁ θεὸς τὸν Ἀδὰμ λέγων· ‘Ἀδάμ, ποῦ ἐκρύβης; νομίζεις ὅτι οὐχ εὑρίσκω σε; Μὴ κρυβήσεται οἶκος τῷ οἰκοδομήσαντι αὐτόν;' Τότε ἀποκριθεὶς ὁ πατὴρ ὑμῶν εἶπεν· ‘Οὐχί, κύριε, οὐ κρυβόμεθά σε ὡς νομίζοντες ὅτι οὐχ εὑρισκόμεθα ὑπὸ σοῦ· ἀλλ' ἠδέσθην ὅτι γυμνός εἰμι καὶ φοβοῦμαι τὸ κράτος

σου, δέσποτα.’ Λέγει αὐτῷ ὁ θεός· ‘Τίς σοι ὑπέδειξεν ὅτι γυμνὸς εἶ; ἢ μὴ ὅτι ἐγκατέλιπες τὴν ἐντολήν μου ἣν παρέδωκά σοι τοῦ φυλάξαι αὐτήν;’ Τότε Ἀδὰμ ἐμνήσθη τοῦ λόγου οὗ ἐλάλησα αὐτῷ ὅτι ἀκίνδυνόν σε ποιήσω παρὰ τοῦ θεοῦ. Καὶ στραφεὶς πρὸς ἐμὲ εἶπεν· ‘Τί τοῦτο ἐποίησας;’ Κἀγὼ εἶπον ὅτι ὁ ὄφις ἠπάτησέ με.»

(24) «Καὶ λέγει ὁ θεὸς τῷ Ἀδάμ· ‘Ἐπειδὴ παρήκουσας τὴν ἐντολήν μου καὶ ἤκουσας τῆς γυναικός σου, ἐπικατάρατος ἡ γῆ ἕνεκα σοῦ. Ἐργάσει αὐτὴν καὶ οὐ δώσει τὴν ἰσχὺν αὐτῆς· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι καὶ ἐν ὑδρότητι τοῦ προσώπου σου φάγει τὸν ἄρτον σου. Ἔσει δὲ ἐν καμάτοις πολυτρόποις, θλιβεὶς ἀπὸ πικρίας, καὶ μὴ γεύσει γλυκύτητος, θλιβεὶς ἀπὸ καύματος καὶ στενωθεὶς ἀπὸ ψύξεως. Καὶ ὧν ἐκυρίευες θηρίων ἐπαναστήσονταί σοι ἐν ἀκαταστασίᾳ, ὅτι τὴν ἐντολήν μου οὐκ ἐφύλαξας.’»

(25) «Στραφεὶς δὲ πρὸς ἐμὲ ὁ κύριος λέγει· ‘Ἐπειδὴ ἐπήκουσας τοῦ ὄφεως καὶ παρήκουσας τὴν ἐντολήν μου, ἔσει ἐν καμάτοις καὶ ἐν πόνοις ἀφορήτοις. Τέξει τέκνα ἐν πολλοῖς τρόποις καὶ ἐν μιᾷ ὥρᾳ ἔλθῃς τοῦ τεκεῖν καὶ ἀπολέσῃς τὴν ζωήν σου ἐκ τῆς ἀνάγκης σου τῆς μεγάλης καὶ τῶν ὀδυνῶν. Ἐξομολογήσει δὲ καὶ εἴπῃς· Κύριε, κύριε, σῶσόν με καὶ οὐ μὴ ἐπιστρέψω εἰς τὴν ἁμαρτίαν τῆς σαρκός. Διὰ τοῦτο ἐκ τῶν λόγων σου κρινῶ σε, διὰ τὴν ἔχθραν ἣν ἔθετο ὁ ἐχθρὸς ἐν σοί. Στραφεῖσα δὲ πάλιν πρὸς τὸν ἄνδρα σου, καὶ αὐτός σου κυριεύσει.’»

(26) «Μετὰ δὲ τὸ εἰπεῖν μοι ταῦτα, εἶπε τῷ ὄφει ἐν ὀργῇ μεγάλῃ λέγων· ‘Ἐπειδὴ ἐποίησας τοῦτο καὶ ἐγένου σκεῦος ἀχάριστον ἕως ἂν πλανήσῃς τοὺς

παρειμένους τῇ καρδίᾳ, ἐπικατάρατος σὺ ἐκ πάντων τῶν κτηνῶν. Στερηθήσει τῆς τροφῆς σου ἧς ἤσθιες καὶ χοῦν φάγει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσει· στερηθήσει τῶν χειρῶν καὶ τῶν ποδῶν σου· οὐκ ἀφεθήσεταί σοι ὠτίον οὔτε πτέρυξ οὔτε ἓν μέλος τούτων ὧν σὺ ἐδελέασας ἐν τῇ κακίᾳ σου καὶ ἐποίησας αὐτοὺς ἐκβληθῆναι ἐκ τοῦ παραδείσου. Καὶ θήσω ἔχθραν ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῶν· αὐτός σου τηρήσει κεφαλὴν καὶ σὺ ἐκείνου πτέρναν ἕως τῆς ἡμέρας τῆς κρίσεως.'»

(27) «Ταῦτα εἰπὼν ἐκέλευσε τοῖς ἀγγέλοις αὐτοῦ ἐκβληθῆναι ἡμᾶς ἐκ τοῦ παραδείσου. Ἐλαυνομένων δὲ ἡμῶν καὶ ὀδυρομένων, παρεκάλεσεν ὁ πατὴρ ὑμῶν Ἀδὰμ τοὺς ἀγγέλους λέγων· ''Ἐάσατέ με μικρὸν ὅπως παρακαλέσω τὸν θεὸν καὶ σπλαγχνισθῇ καὶ ἐλεήσῃ με, ὅτι ἐγὼ μόνος ἥμαρτον.' Αὐτοὶ δὲ ἐπαύσαντο τοῦ ἐλαύνειν αὐτόν, ἐβόησε δὲ Ἀδὰμ μετὰ κλαυθμοῦ λέγων· 'Συγχώρησόν μοι, κύριε, ὃ ἐποίησα.' Τότε λέγει ὁ κύριος τοῖς ἀγγέλοις αὐτοῦ· 'Τί ἐπαύσασθε ἐκβαλεῖν τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου; Μὴ ἐμόν ἐστι τὸ ἁμάρτημα, ἢ κακῶς ἔκρινα;' Τότε οἱ ἄγγελοι πεσόντες ἐπὶ τὴν γῆν προσεκύνησαν τῷ κυρίῳ λέγοντες· 'Δίκαιος εἶ, κύριε, καὶ εὐθύτητας κρίνεις.'»

(28) «Στραφεὶς δὲ ὁ κύριος πρὸς τὸν Ἀδὰμ εἶπεν· 'Οὐκ ἀφήσω σε ἀπὸ τοῦ νῦν εἶναι ἐν τῷ παραδείσῳ.' Καὶ ἀποκριθεὶς ὁ Ἀδὰμ εἶπεν· 'Κύριε, δός μοι ἐκ τοῦ φυτοῦ τῆς ζωῆς ἵνα φάγω πρὶν ἢ ἐκβληθῆναί με.' Τότε ὁ κύριος ἐλάλησε πρὸς τὸν Ἀδάμ· 'Οὐ λήψει νῦν ἀπ' αὐτοῦ· ὡρίσθη δὲ τῷ χερουβὶμ καὶ τῇ φλογίνῃ ῥομφαίᾳ τῇ στρεφομένῃ φυλάσσειν αὐτὸ διὰ σέ, ὅπως μὴ γεύσει ἀπ' αὐτοῦ καὶ

ἀθάνατος ἔσει εἰς τὸν αἰῶνα, ἔχῃς δὲ τὸν πόλεμον ὃν ἔθετο ὁ ἐχθρὸς ἐν σοί. Ἀλλ' ἐξερχομένου σου ἐκ τοῦ παραδείσου, ἐὰν φυλάξῃς σεαυτὸν ἀπὸ παντὸς κακοῦ ὡς βουλόμενος ἀποθανεῖν, ἀναστάσεως πάλιν γενομένης, ἀναστήσω σε καὶ δοθήσεταί σοι ἐκ τοῦ ξύλου τῆς ζωῆς καὶ ἀθάνατος ἔσει εἰς τὸν αἰῶνα.'»

(29) «Ταῦτα εἰπὼν ὁ κύριος ἐκέλευσε τοῖς ἀγγέλοις αὐτοῦ ἐκβληθῆναι ἡμᾶς ἐκ τοῦ παραδείσου. Ἔκλαυσε δὲ ὁ πατὴρ ὑμῶν ἔμπροσθεν τῶν ἀγγέλων ἐν τῷ παραδείσῳ καὶ λέγουσιν οἱ ἄγγελοι αὐτῷ· 'Τί θέλεις ποιήσωμέν σοι, Ἀδάμ;' Ἀποκριθεὶς δὲ ὁ πατὴρ ὑμῶν εἶπε τοῖς ἀγγέλοις· 'Ἰδοὺ ἐκβάλλετέ με· δέομαι ὑμῶν, ἄφετέ με ἆραι εὐωδίας ἐκ τοῦ παραδείσου, ἵνα μετὰ τὸ ἐξελθεῖν με ἀνενέγκω θυσίαν τῷ θεῷ, ὅπως εἰσακούσεταί μου ὁ θεός.' Καὶ προσελθόντες εἶπον οἱ ἄγγελοι τῷ κυρίῳ· 'Ἰαήλ, αἰώνιε βασιλεῦ, κέλευσον δοθῆναι τῷ Ἀδὰμ θυμιάματα εὐωδίας ἐκ τοῦ παραδείσου.' Καὶ ἐκέλευσεν ὁ θεὸς ἐαθῆναι τὸν Ἀδὰμ ἵνα λάβῃ εὐωδίας καὶ σπέρματα εἰς διατροφὴν αὐτοῦ. Καὶ ἀφέντες αὐτὸν οἱ ἄγγελοι, ἔλαβε τέσσαρα γένη, κρόκον καὶ νάρδον καὶ κάλαμον καὶ κινάμωμον, καὶ ἕτερα σπέρματα εἰς διατροφὴν αὐτοῦ. Καὶ λαβὼν ταῦτα ἐξῆλθεν ἐκ τοῦ παραδείσου· καὶ ἐγενόμεθα ἐπὶ τῆς γῆς.»

(30) «Νῦν οὖν, τεκνία μου, ἐδήλωσα ὑμῖν τὸν τρόπον ἐν ᾧ ἠπατήθημεν. Ὑμεῖς δὲ φυλάξατε ἑαυτοὺς μὴ ἐγκαταλιπεῖν τὸ ἀγαθόν.»

(31) Ταῦτα δὲ εἰποῦσα ἐν μέσῳ τῶν υἱῶν αὐτῆς, κοιμωμένου τοῦ Ἀδὰμ ἐν τῇ νόσῳ αὐτοῦ, ἄλλην δὲ εἶχε μίαν ἡμέραν ἐξελθεῖν ἐκ τοῦ σώματος αὐτοῦ. Καὶ λέγει τῷ Ἀδὰμ ἡ Εὔα· «Διὰ τί ἀποθνήσκεις κἀγὼ ζῶ; ἢ πόσον χρόνον ἔχω

ποιῆσαι μετὰ θάνατόν σου; Ἀνάγγειλόν μοι.» Τότε λέγει ὁ Ἀδὰμ τῇ Εὔα· «Μὴ θέλε φροντίζειν περὶ πραγμάτων· οὐ γὰρ βραδυνεῖς ἀπ' ἐμοῦ, ἀλλ' ἴσα ἀποθνῄσκομεν ἀμφότεροι· καὶ αὐτὴ τεθήσει εἰς τὸν τόπον τὸν ἐμόν. Κἂν ἀποθάνω, κατάλειψόν με καὶ μηδείς μου ἅψηται ἕως οὗ ἄγγελος λαλήσει τι περὶ ἐμοῦ. Οὐ γὰρ ἐπιλήσεταί μου ὁ θεός, ἀλλὰ ζητήσει τὸ ἴδιον σκεῦος ὃ ἔπλασεν. Ἀνάστα, μᾶλλον εὖξαι τῷ θεῷ ἕως οὗ ἀποδώσω τὸ πνεῦμά μου εἰς τὰς χεῖρας τοῦ δεδωκότος μοι αὐτό. Διότι οὐκ οἴδαμεν πῶς ἀπαντήσωμεν τοῦ ποιήσαντος ἡμᾶς, ἢ ὀργισθῇ ἡμῖν ἢ ἐπιστρέψῃ τοῦ ἐλεῆσαι ἡμᾶς.»

(32) Τότε ἀνέστη ἡ Εὔα καὶ ἐξῆλθεν ἔξω· καὶ πεσοῦσα ἐπὶ τὴν γῆν ἔλεγεν· «Ἥμαρτον, ὦ θεός, ἥμαρτον, ὦ πάτερ τῶν ἁπάντων, ἥμαρτόν σοι, ἥμαρτον εἰς τοὺς ἐκλεκτούς σου ἀγγέλους, ἥμαρτον εἰς τὰ χερουβίμ, ἥμαρτον εἰς τὸν ἀσάλευτόν σου θρόνον, ἥμαρτον, κύριε, ἥμαρτον πολλά, ἥμαρτον ἐναντίον σοῦ καὶ πᾶσα ἁμαρτία δι' ἐμὲ γέγονεν ἐν τῇ κτίσει.»

Ἔτι δὲ εὐχομένης τῆς Εὔας, ἦλθε πρὸς αὐτὴν ὁ ἄγγελος τῆς ἀνθρωπότητος· καὶ ἀνέστησεν αὐτὴν λέγων· «Ἀνάστα, Εὔα, ἐκ τῆς μετανοίας σου· ἰδοὺ γὰρ ὁ Ἀδὰμ ὁ ἀνήρ σου ἐξῆλθεν ἀπὸ τοῦ σώματος αὐτοῦ· ἀνάστα καὶ ἰδὲ τὸ πνεῦμα αὐτοῦ ἀναφερόμενον εἰς τὸν ποιήσαντα αὐτὸ τοῦ ἀπαντῆσαι αὐτῷ.»

(33) Ἀναστᾶσα δὲ Εὔα ἐπέβαλε τὴν χεῖρα αὐτῆς ἐπὶ τὸ πρόσωπον αὐτῆς. Καὶ ἀτενίσασα εἰς τὸν οὐρανὸν εἶδεν ἅρμα φωτὸς αἱρόμενον ὑπὸ τεσσάρων ἀετῶν λαμπρῶν—ὧν οὐκ ἦν δυνατὸν γεννηθῆναι ἀπὸ κοιλίας ἢ εἰπεῖν τὴν δόξαν αὐτῶν ἢ ἰδεῖν τὸ πρόσωπον αὐτῶν—, καὶ ἀγγέλους προάγοντας τὸ ἅρμα. Ὅτε δὲ

ἦλθον ὅπου ἔκειτο ὁ Ἀδάμ, ἔστη τὸ ἅρμα καὶ τὰ σεραφὶμ ἀνὰ μέσον τοῦ Ἀδὰμ καὶ τοῦ ἅρματος. Εἶδε δὲ θυμιατήρια χρυσᾶ καὶ τρεῖς φιάλας· καὶ ἰδοὺ πάντες οἱ ἄγγελοι μεταλαβόντες τὰ θυμιατήρια ἦλθον ἐν σπουδῇ ἐπὶ τὸ θυσιαστήριον καὶ ἐνεφύσησαν αὐτά· καὶ ἡ ἀτμὶς τοῦ θυμιάματος ἐκάλυψε τὰ στερεώματα. Καὶ προσέπεσαν οἱ ἄγγελοι τῷ θεῷ βοῶντες καὶ λέγοντες· «Ἰαὴλ ἅγιε, συγχώρησον, ὅτι εἰκών σού ἐστι καὶ ποίημα τῶν χειρῶν σου τῶν ἁγίων.»

(34) Εἶδε δὲ Εὔα δύο μεγάλα καὶ φοβερὰ μυστήρια ἐνώπιον τοῦ θεοῦ· καὶ ἔκλαυσεν ἐκ τοῦ φόβου καὶ ἐβόησε πρὸς τὸν υἱὸν αὐτῆς Σὴθ λέγουσα· «Ἀνάστα, Σήθ, ἐκ τοῦ σώματος τοῦ πατρός σου καὶ ἐλθὲ πρὸς ἐμὲ καὶ ἰδὲ ἃ οὐκ εἶδεν ὁ ὀφθαλμὸς πώποτέ τινος καὶ πῶς δέονται ὑπὲρ τοῦ πατρός σου Ἀδάμ.»

(35) Τότε ἀνέστη Σὴθ καὶ ἦλθε πρὸς τὴν μητέρα αὐτοῦ καὶ λέγει αὐτῇ· «Διὰ τί κλαίεις;» Καὶ λέγει αὐτῷ· «Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἰδὲ τὰ ἑπτὰ στερεώματα ἀνεῳγμένα καὶ πῶς κεῖται ὁ πατήρ σου, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾽ αὐτοῦ εὐχόμενοι ὑπὲρ αὐτοῦ καὶ λέγοντες· Συγχώρησον αὐτῷ, ὦ πάτερ τῶν ὅλων, ὅτι εἰκών σού ἐστιν. Ἆρα δέ, τέκνον μου Σήθ, πότε παραδοθήσεται εἰς τὰς χεῖρας τοῦ ἀοράτου θεοῦ ἡμῶν; Τίνες δέ εἰσιν, υἱέ μου, οἱ δύο Αἰθίοπες οἱ παριστάμενοι ἐπὶ τὴν προσευχὴν τοῦ πατρός σου;»

(36) Λέγει δὲ Σὴθ τῇ μητρὶ αὐτοῦ· «Οὗτοί εἰσιν ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ αὐτοὶ προσπίπτοντες καὶ εὐχόμενοι ὑπὲρ τοῦ πατρός μου Ἀδάμ.» Λέγει αὐτῷ ἡ Εὔα· «Καὶ ποῦ ἐστι τὸ φῶς αὐτῶν καὶ διὰ τί γεγόνασι μελανοειδεῖς;» Καὶ λέγει αὐτῇ

Σήθ· «Οὐκ ἀπέστη τὸ φῶς αὐτῶν, ἀλλ' οὐ δύνανται φαίνειν ἐνώπιον τοῦ φωτὸς τῶν ὅλων, τοῦ πατρὸς τῶν φώτων, καὶ διὰ τοῦτο ἐκρύβη τὸ φῶς αὐτῶν.»

(37) Λέγοντος δὲ τοῦ Σὴθ ταῦτα πρὸς τὴν μητέρα αὐτοῦ, ἰδοὺ ἐσάλπισεν ἄγγελος· καὶ ἀνέστησαν πάντες οἱ ἄγγελοι ἐπ' ὄψεσι κείμενοι καὶ ἐβόησαν φωνὴν φοβερὰν λέγοντες· «Εὐλογημένη ἡ δόξα κυρίου ἀπὸ τῶν ποιημάτων αὐτοῦ, ὅτι ἠλέησε τὸ πλάσμα τῶν χειρῶν αὐτοῦ.» Ὅτε δὲ εἶπον τὰς φωνὰς ταύτας οἱ ἄγγελοι, ἰδοὺ ἦλθεν ἓν τῶν σεραφὶμ ἑξαπτερύγων· καὶ ἥρπασε τὸν Ἀδὰμ εἰς τὴν Ἀχερουσίαν λίμνην καὶ ἀπέλουσεν αὐτὸν τρίτον καὶ ἤγαγεν αὐτὸν ἐνώπιον τοῦ θεοῦ. Ἐποίησε δὲ τρεῖς ὥρας κείμενος. Καὶ μετὰ ταῦτα ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ πατὴρ τῶν ὅλων καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ καὶ ἦρε τὸν Ἀδὰμ καὶ παρέδωκεν αὐτὸν τῷ ἀρχαγγέλῳ Μιχαὴλ λέγων· «Ἆρον αὐτὸν εἰς τὸν παράδεισον καὶ ἄφες αὐτὸν ἐκεῖ ἕως τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης καὶ φοβερᾶς τῆς οἰκονομίας ἧς ποιήσω εἰς τὸν κόσμον.» Τότε ὁ Μιχαὴλ ἦρε τὸν Ἀδὰμ καὶ ἀφῆκεν αὐτὸν ὅπου εἶπεν αὐτῷ ὁ θεός· πάντες δὲ οἱ ἄγγελοι ὕμνουν ὕμνον ἀγγελικὸν θαυμάζοντες ἐπὶ τῇ συγχωρήσει τοῦ Ἀδάμ.

(38) Μετὰ δὲ τὴν γενησομένην χαρὰν τοῦ Ἀδὰμ ἐβόησε πρὸς τὸν πατέρα Μιχαὴλ ὁ ἀρχάγγελος διὰ τὸν Ἀδάμ. Καὶ ἐλάλησεν ὁ πατὴρ πρὸς αὐτὸν ἵνα συναχθῶσι πάντες οἱ ἄγγελοι ἐνώπιον τοῦ θεοῦ, ἕκαστος κατὰ τὴν τάξιν αὐτοῦ, καί τινες μὲν ἔχοντες θυμιατήρια ἐν χερσὶν αὐτῶν, ἄλλοι δὲ κιθάρας καὶ φιάλας καὶ σάλπιγγας. Καὶ ἰδοὺ κύριος στρατιῶν ἐπέβη καὶ τέσσαρες ἄνεμοι εἷλκον αὐτόν, καὶ τὰ χερουβὶμ ἐπέχοντα τοῖς ἀνέμοις καὶ οἱ ἄγγελοι ἐκ τοῦ οὐρανοῦ

προάγοντες αὐτόν. Καὶ ἐλθόντες ἐπὶ τὴν γῆν ὅπου ἦν τὸ σῶμα τοῦ Ἀδὰμ κατῆλθον εἰς τὸν παράδεισον· τότε ἐκινήθησαν πάντα τὰ φυτὰ τοῦ παραδείσου, ὡς πάντας ἀνθρώπους γεγεννημένους ἐκ τοῦ Ἀδὰμ νυστάξαι ἀπὸ τῆς εὐωδίας, χωρὶς τοῦ Σὴθ μόνου, ὅτι ἐγένετο καθορῶν τοῦ θεοῦ.

(39) Καὶ ἦλθεν ὁ θεὸς πρὸς τὸ σῶμα τοῦ Ἀδὰμ καὶ ἐλυπήθη σφόδρα ἐπ' αὐτῷ· καὶ λέγει αὐτῷ ὁ θεός· «Ἀδάμ, τί τοῦτο ἐποίησας; Εἰ ἐφύλαξας τὴν ἐντολήν μου, οὐκ ἂν ἐχαίροντο οἱ καταγαγόντες σε εἰς τὸν τόπον τοῦτον.

Πλὴν λέγω σοι ὅτι τὴν χαρὰν αὐτῶν ἐπιστρέψω εἰς λύπην, τὴν δὲ λύπην σου ἐπιστρέψω εἰς χαράν· καὶ ἐπιστρέψω σε εἰς τὴν ἀρχήν σου καὶ καθίσω σε εἰς τὸν θρόνον τοῦ ἀπατήσαντός σε. Ἐκεῖνος δὲ ἐμβληθήσεται εἰς τὸν τόπον τοῦτον, ἵνα ἴδῃ σε καθήμενον ἐπάνω αὐτοῦ· τότε κατακριθήσεται αὐτὸς καὶ οἱ ἀκούσαντες αὐτοῦ, καὶ λυπηθήσεται ὁρῶν σε καθήμενον ἐπὶ τοῦ θρόνου αὐτοῦ.»

(40) Μετὰ ταῦτα εἶπεν ὁ θεὸς τῷ ἀρχαγγέλῳ Μιχαήλ· «Ἄπελθε εἰς τὸν παράδεισον καὶ ἀνένεγκε τρεῖς σινδόνας βυσσίνας καὶ σηρικάς.» Καὶ εἶπεν ὁ θεὸς τῷ Μιχαὴλ καὶ τῷ Γαβριὴλ καὶ τῷ Οὐριήλ· «Στρώσατε σινδόνας καὶ σκεπάσατε τὸ σῶμα τοῦ Ἀδάμ· καὶ ἐνεγκόντες ἔλαιον ἐκ τοῦ ἐλαίου τῆς εὐωδίας ἐκχέατε ἐπ' αὐτό.» Καὶ ἐκήδευσαν αὐτὸν οἱ τρεῖς μεγάλοι ἄγγελοι. Ὅτε δὲ ἐτέλεσαν κηδεύοντες τὸν Ἀδάμ, εἶπεν ὁ θεὸς ἐνεχθῆναι καὶ τὸ σῶμα τοῦ Ἄβελ· καὶ ἐνεγκόντες ἄλλας σινδόνας ἐκήδευσαν αὐτόν. —Ἐπειδὴ ἀκήδευτος ἦν ἀφ' ἧς ἡμέρας ἐφόνευσεν αὐτὸν Κάϊν ὁ ἀδελφὸς αὐτοῦ ὁ πονηρός. Καὶ πολλὰ ἠθέλησε κρύψαι αὐτὸν ὁ Κάϊν, ἀλλ' οὐκ ἠδυνήθη, ὅτι ἀνεπήδα τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς

γῆς, καὶ ἐξήρχετο φωνὴ ἀπὸ τῆς γῆς λέγουσα· «Οὐ κρυβήσεται εἰς τὴν γῆν ἕτερον πλάσμα ἕως οὗ ἀφιέναι μοι τὸ πρῶτον πλάσμα τὸ ἀρθὲν ἀπ' ἐμοῦ, τὸν χοῦν ἐξ ἧς ἐλήφθη.» Ἔλαβον δὲ οἱ ἄγγελοι ἐν τῷ καιρῷ ἐκείνῳ καὶ ἔθεντο αὐτὸν ἐπὶ τὴν πέτραν ἕως οὗ ἐτάφη Ἀδὰμ ὁ πατὴρ αὐτοῦ. —

Καὶ προσέταξεν ὁ θεὸς μετὰ τὸ κηδεῦσαι τὸν Ἀδὰμ καὶ τὸν Ἄβελ ἆραι αὐτοὺς εἰς τὰ μέρη τοῦ παραδείσου, εἰς τὸν τόπον ὅπου εὗρε χοῦν ὁ θεὸς καὶ ἔπλασε τὸν Ἀδάμ. Καὶ ἐποίησεν ὀρυγῆναι εἰς δύο τὸν τόπον. Καὶ ἀπέστειλεν ὁ θεὸς ἑπτὰ ἀγγέλους εἰς τὸν παράδεισον· καὶ ἤγαγον εὐωδίας πολλὰς καὶ ἔθηκαν αὐτὰς ἐν τῇ γῇ. Καὶ μετὰ ταῦτα ἔλαβον τὰ δύο σώματα καὶ ἔθαψαν αὐτὰ εἰς τὸν τόπον εἰς ὃν ὤρυξαν καὶ ᾠκοδόμησαν αὐτοί.

(41) Ἐκάλεσε δὲ ὁ θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν· «Ἀδάμ, Ἀδάμ.» Ἀπεκρίθη τὸ σῶμα ἐκ τῆς γῆς καὶ εἶπεν· «Ἰδοὺ ἐγώ, κύριε.» Καὶ εἶπεν αὐτῷ ὁ θεὸς ὅτι εἶπόν σοι ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσει. Πάλιν τὴν ἀνάστασιν ἐπαγγέλλομαί σοι· ἀναστήσω σε ἐν τῇ ἀναστάσει μετὰ παντὸς γένους ἀνθρώπων τοῦ ἐκ τοῦ σπέρματός σου.

(42) Μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐποίησεν ὁ θεὸς σφραγῖδα τρίγωνον καὶ ἐσφράγισε τὸ μνημεῖον ἵνα μηδείς τι ποιήσῃ αὐτῷ ἐν ταῖς ἓξ ἡμέραις, ἕως οὗ ἀποστραφῇ ἡ πλευρὰ αὐτοῦ πρὸς αὐτόν. Τότε ὁ κύριος καὶ οἱ ἄγγελοι ἐπορεύθησαν εἰς τὸν τόπον αὐτῶν.

Εὔα δὲ καὶ αὐτή, πληρωθέντων τῶν ἓξ ἡμερῶν, ἐκοιμήθη. Ἔτι δὲ ζώσης αὐτῆς, ἔκλαυσε περὶ τῆς κοιμήσεως τοῦ Ἀδάμ· οὐ γὰρ ἐγίνωσκε ποῦ ἐτέθη. Ἐπειδὴ ἐν τῷ ἐλθεῖν τὸν κύριον ἐπὶ τῆς γῆς πρὸς τὸ κηδεῦσαι τὸν Ἀδάμ, ἐκοιμήθησαν

ἅπαντες, ἕως οὗ ἐτέλεσαν κηδεύσαντες τὸν Ἀδάμ, πλὴν τοῦ Σὴθ μόνου· καὶ οὐδεὶς ἔγνωκεν ἐπὶ τῆς γῆς, πλὴν τοῦ υἱοῦ αὐτοῦ Σήθ. Καὶ προσηύξατο Εὔα κλαίουσα ἵνα ταφῇ εἰς τὸν τόπον ὅπου ἦν Ἀδὰμ ὁ ἀνὴρ αὐτῆς. Μετὰ δὲ τὸ τελέσαι αὐτὴν τὴν εὐχὴν λέγει· «Κύριε δέσποτα, θεὲ πάσης ἀρετῆς, μὴ ἀπαλλοτριώσῃς με τοῦ σώματος Ἀδὰμ ἐξ οὗ ἦράς με ἐκ τῶν μελῶν αὐτοῦ, ἀλλ' ἀξίωσον κἀμὲ τὴν ἀναξίαν καὶ ἁμαρτωλὴν εἰσελθεῖν μετὰ τοῦ σκηνώματος αὐτοῦ. Ὥσπερ ἤμην μετ' αὐτοῦ ἐν τῷ παραδείσῳ ἀμφότεροι μὴ χωρισθέντες ἀπ' ἀλλήλων, ὥσπερ ἐν τῇ παραβάσει πλανηθέντες παρέβημεν τὴν ἐντολήν σου μὴ χωρισθέντες, οὕτως καὶ νῦν, κύριε, μὴ χωρίσῃς ἡμᾶς.» Μετὰ δὲ τὸ εὔξασθαι αὐτὴν ἀναβλέψασα εἰς τὸν οὐρανὸν ἀνεστέναξε τύπτουσα τὸ στῆθος αὐτῆς καὶ λέγουσα· «Θεὲ τῶν ἁπάντων, δέξαι τὸ πνεῦμά μου.» Καὶ παρέδωκε τὸ πνεῦμα αὐτῆς.

(43) Καὶ ἦλθε Μιχαὴλ καὶ ἐδίδαξε τὸν Σὴθ πῶς κηδεύσει τὴν Εὔαν. Καὶ ἦλθον τρεῖς ἄγγελοι· καὶ ἦραν τὸ σῶμα αὐτῆς καὶ ἔθαψαν αὐτὸ ὅπου ἦν τὸ σῶμα τοῦ Ἀδὰμ καὶ τοῦ Ἄβελ.

Καὶ μετὰ ταῦτα ἐλάλησεν ὁ Μιχαὴλ τῷ Σὴθ λέγων· «Οὕτως κήδευσον πάντα ἄνθρωπον ἀποθνῄσκοντα ἕως τῆς ἡμέρας τῆς ἀναστάσεως.» Μετὰ δὲ τὸ δοῦναι αὐτὸν τὸν νόμον εἶπε πρὸς αὐτόν· «Παρὲξ ἡμερῶν ἓξ μὴ πενθήσητε· τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ κατάπαυσον καὶ εὐφράνθητι ἐπ' αὐτῇ, ὅτι ἐν αὐτῇ ὁ θεὸς καὶ οἱ ἄγγελοι ἡμεῖς εὐφραινόμεθα μετὰ τῆς δικαίας ψυχῆς τῆς μεταστάσης ἀπὸ τῆς

γῆς.» Καὶ ταῦτα εἰπὼν ὁ ἄγγελος ἀνῆλθεν εἰς τὸν οὐρανὸν δοξάζων καὶ λέγων·
«Ἀλληλούια.» —Ἅγιος, ἅγιος, ἅγιος κύριος. Εἰς δόξαν θεοῦ πατρός. Ἀμήν. —

**D. Bertrand, La Vie grecque d' Adam et d' Eve, Paris: Librairie Adrien Maisonneuve, 1987: 68-106.**